τοιαῖσδε φήμαις ἐξέπεμπες ἂν χθονός.
ἀτὰρ τὰ σεμνὰ καὶ δοκήμασιν σοφὰ
οὐδέν τι κρείσσω τῶν τὸ μηδὲν ἦν ἄρα.
ὁ γὰρ μέγιστος τῶν Πανελλήνων ἄναξ,
Ἀτρέως φίλος παῖς, τῆσδ᾽ ἔρωτ᾽ ἐξαίρετον
μαινάδος ὑπέστη· καὶ πένης μέν εἰμ᾽ ἐγώ,
ἀτὰρ λέχος γε τῆσδ᾽ ἂν οὐκ ἐκτησάμην.
καὶ σοὶ μὲν, οὐ γὰρ ἀρτίας ἔχεις φρένας,
Ἀργεῖ᾽ ὀνείδη καὶ Φρυγῶν ἐπαινέσεις
ἀνέμοις φέρεσθαι παραδίδωμ᾽. ἕπου δέ μοι
πρὸς ναῦς, καλὸν νύμφευμα τῷ στρατηλάτῃ.
σὺ δ᾽, ἡνίκ᾽ ἄν σε Λαρτίου χρήζῃ τόκος
ἄγειν, ἕπεσθαι· σώφρονος δ᾽ ἔσει λάτρις
γυναικὸς, ὥς φασ᾽ οἱ μολόντες Ἴλιον.

ΚΑ. ἦ δεινὸς ὁ λάτρις· τί ποτ᾽ ἔχουσι τοὔνομα
κήρυκες; ἓν ἀπέχθημα πάγκοινον βροτοῖς
οἱ περὶ τυράννους καὶ πόλεις ὑπηρέται.
σὺ τὴν ἐμὴν φῂς μητέρ᾽ εἰς Ὀδυσσέως
ἥξειν μέλαθρα; ποῦ δ᾽ Ἀπόλλωνος λόγοι,
οἵ φασιν αὐτὴν εἰς ἔμ᾽ ἡρμηνευμένοι
αὐτοῦ θανεῖσθαι; τἄλλα δ᾽ οὐκ ὀνειδιῶ.
δύστηνος, οὐκ οἶδ᾽ οἷά νιν μένει παθεῖν·
ὡς χρυσὸς αὐτῷ τἀμὰ καὶ Φρυγῶν κακὰ
δόξει ποτ᾽ εἶναι. δέκα γὰρ ἀντλήσας ἔτη
πρὸς τοῖσιν ἐνθάδ᾽, ἵξεται μόνος πάτραν,
οὗ δὴ στενὸν δίαυλον ᾤκισται πέτρας
δεινὴ Χάρυβδις, ὠμόφρων τ᾽ ἐπιστάτης
Κύκλωψ, Λίγυστίς θ᾽ ἡ συῶν μορφώτρια
Κίρκη, θαλάσσης θ᾽ ἁλμυρᾶς ναυάγια,
λωτοῦ τ᾽ ἔρωτες, ἡλίου θ᾽ ἁγναὶ βόες,
αἳ σάρκα φωνήεσσαν ἥσουσίν ποτε,
πικρὰν Ὀδυσσεῖ γῆρυν. ὡς δὲ συντέμω,
ζῶν εἶσ᾽ ἐς Ἅιδην, κἀκφυγὼν λίμνης ὕδωρ
κάκ᾽ ἐν δόμοισι μυρί᾽ εὑρήσει μολών.
ἀλλὰ γὰρ τί τοὺς Ὀδυσσέως ἐξακοντίζω πόνους;
στεῖχ᾽, ὅπως τάχιστ᾽ ἐς Ἅιδου νυμφίῳ γημώμεθα.